173. THE LAST SUPPER (Matt-Lk Identicals)

| Matt 26:17-35 | Luke 22:7-38 |
|---|---|
| *Τῇ δὲ πρώτης* | *Ἦλθεν δὲ ἡ ἡμέρα* |
| *τῶν ἀζύμων* | *τῶν ἀζύμων,* |
| | *ἐν ᾗ ἔδει θύεσθαι τὸ πάσχα.* |
| *προσῆλθον* | *8 καὶ ἀπέστειλεν Πέτρον* |
| | *καὶ Ἰωάννην εἰπών,* |
| | *Πορευθέντες ἑτοιμάσατε ἡμῖν* |
| | *τὸ πάσχα ἵνα φάγωμεν.* |
| *οἱ μαθηταὶ τῷ Ἰησοῦ λέγοντες,* | *9 οἱ δὲ εἶπαν αὐτῷ,* |
| *Ποῦ θέλεις* | *Ποῦ θέλεις* |
| *ἑτοιμάσωμέν σοι* | *ἑτοιμάσωμεν* |
| *φαγεῖν τὸ πάσχα* | |
| | |
| *18 ὁ δὲ εἶπεν,* | *10 ὁ δὲ εἶπεν αὐτοῖς,* |
| *Ὑπάγετε* | *Ἰδοὺ εἰσελθόντων ὑμῶν* |
| *εἰς τὴν πόλιν* | *εἰς τὴν πόλιν* |
| | *συναντήσει ὑμῖν ἄνθρωπος* |
| | *κεράμιον ὕδατος βαστάζων·* |
| | *ἀκολουθήσατε αὐτῷ* |
| | *εἰς τὴν οἰκίαν εἰς ἣν εἰσπορεύεται.* |
| *πρὸς τὸν δεῖνα καὶ εἴπατε αὐτῷ,* | *11 καὶ ἐρεῖτε τῷ οἰκοδεσπότῃ τῆς οἰκίας,* |
| *Ὁ διδάσκαλος λέγει,* | *Λέγει σοι ὁ διδάσκαλος,* |
| *Ὁ καιρός μου ἐγγύς ἐστιν·* | *Ποῦ ἐστιν τὸ κατάλυμα* |
| *πρὸς σὲ ποιῶ τὸ πάσχα* | *ὅπου τὸ πάσχα* |
| *μετὰ τῶν μαθητῶν μου.* | *μετὰ τῶν μαθητῶν μου φάγω* |
| | *12 κἀκεῖνος ὑμῖν δείξει* |
| | *ἀνάγαιον* |
| | *μέγα ἐστρωμένον·* |
| | *ἐκεῖ ἑτοιμάσατε.* |
| *19 καὶ ἐποίησαν οἱ μαθηταὶ* | |
| | *13 ἀπελθόντες δὲ* |
| | *εὗρον* |
| *ὡς συνέταξεν αὐτοῖς ὁ Ἰησοῦς,* | *καθὼς εἰρήκει αὐτοῖς,* |
| *καὶ ἡτοίμασαν τὸ πάσχα.* | *καὶ ἡτοίμασαν τὸ πάσχα.* |
| *20 Ὀψίας δὲ γενομένης* | *14 Καὶ ὅτε ἐγένετο ἡ ὥρα,* |
| *ἀνέκειτο μετὰ τῶν δώδεκα.* | *ἀνέπεσεν καὶ οἱ ἀπόστολοι σὺν αὐτῷ.* |

15 καὶ εἶπεν πρὸς αὐτούς,
Ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ
πάσχα φαγεῖν μεθ ὑμῶν πρὸ τοῦ με
παθεῖν· 16 λέγω γὰρ ὑμῖν ὅτι οὐ μὴ
φάγω αὐτὸ ἕως ὅτου πληρωθῇ ἐν τῇ
βασιλείᾳ τοῦ θεοῦ. 17 καὶ
δεξάμενος ποτήριον εὐχαριστήσας
εἶπεν, Λάβετε τοῦτο καὶ
διαμερίσατε εἰς ἑαυτούς·

21 καὶ ἐσθιόντων αὐτῶν

εἶπεν,

Ἀμὴν λέγω ὑμῖν

ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με.

22 καὶ λυπούμενοι σφόδρα ἤρξαντο

λέγειν αὐτῷ εἷς ἕκαστος,

Μήτι ἐγώ εἰμι, κύριε.

23 ὁ δὲ ἀποκριθεὶς εἶπεν,

Ὁ ἐμβάψας μετ ἐμοῦ τὴν χεῖρα

ἐν τῷ τρυβλίῳ

οὗτός με παραδώσει

24 ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου

ὑπάγει καθὼς γέγραπται περὶ αὐτοῦ,

οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ

δι οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου

παραδίδοται·

καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη

ὁ ἄνθρωπος ἐκεῖνος.

25 ἀποκριθεὶς δὲ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν εἶπεν, Μήτι ἐγώ εἰμι, ῥαββί λέγει αὐτῷ, Σὺ εἶπας.

26 Ἐσθιόντων δὲ αὐτῶν

| | |
|---|---|
| λαβὼν ὁ Ἰησοῦς ἄρτον | 19 καὶ λαβὼν ἄρτον |
| καὶ εὐλογήσας ἔκλασεν | εὐχαριστήσας ἔκλασεν |
| καὶ δοὺς τοῖς μαθηταῖς εἶπεν, | καὶ ἔδωκεν αὐτοῖς λέγων, |
| Λάβετε φάγετε, | |
| τοῦτό ἐστιν τὸ σῶμά μου. | Τοῦτό ἐστιν τὸ σῶμά μου |
| | τὸ ὑπὲρ ὑμῶν διδόμενον· |
| | τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν. |
| 27 καὶ λαβὼν ποτήριον | 20 καὶ τὸ ποτήριον ὡσαύτως |

| | |
|---|---|
| | *μετὰ τὸ δειπνῆσαι, λέγων,* |
| *καὶ εὐχαριστήσας ἔδωκεν αὐτοῖς* | |
| *λέγων, Πίετε ἐξ αὐτοῦ πάντες,* | |
| *28 τοῦτο γάρ ἐστιν* | *Τοῦτο τὸ ποτήριον* |
| *τὸ αἷμά μου τῆς διαθήκης* | *ἡ καινὴ διαθήκη ἐν τῷ αἵματί μου,* |
| *τὸ περὶ πολλῶν ἐκχυννόμενον* | *τὸ ὑπὲρ ὑμῶν ἐκχυννόμενον.* |
| *εἰς ἄφεσιν ἁμαρτιῶν.* | |
| *29 λέγω δὲ ὑμῖν,* | *18 λέγω γὰρ ὑμῖν* |
| *οὐ μὴ πίω ἀπ ἄρτι* | *ὅτι οὐ μὴ πίω ἀπὸ τοῦ νῦν* |
| *ἐκ τούτου τοῦ γενήματος* | *ἀπὸ τοῦ γενήματος* |
| *τῆς ἀμπέλου* | *τῆς ἀμπέλου* |
| *ἕως τῆς ἡμέρας ἐκείνης* | *ἕως οὗ* |
| *ὅταν αὐτὸ πίνω μεθ ὑμῶν* | |
| *καινὸν* | |
| *ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου.* | *ἡ βασιλεία τοῦ θεοῦ ἔλθῃ.* |
| | *21 πλὴν ἰδοὺ ἡ χεὶρ τοῦ παραδιδόντος με μετ ἐμοῦ ἐπὶ τῆς τραπέζης·* |
| | *22 ὅτι ὁ υἱὸς μὲν τοῦ ἀνθρώπου κατὰ τὸ ὡρισμένον πορεύεται, πλὴν οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ δι οὗ παραδίδοται.* |
| | *23 καὶ αὐτοὶ ἤρξαντο συζητεῖν πρὸς ἑαυτοὺς τὸ τίς ἄρα εἴη ἐξ αὐτῶν ὁ τοῦτο μέλλων πράσσειν.* |
| | *24 Ἐγένετο δὲ καὶ φιλονεικία ἐν αὐτοῖς, τὸ τίς αὐτῶν δοκεῖ εἶναι μείζων.* |
| | *25 ὁ δὲ εἶπεν αὐτοῖς, Οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύουσιν αὐτῶν καὶ οἱ ἐξουσιάζοντες αὐτῶν εὐεργέται καλοῦνται.* |
| | *26 ὑμεῖς δὲ οὐχ οὕτως, ἀλλ ὁ μείζων ἐν ὑμῖν γινέσθω ὡς ὁ νεώτερος, καὶ ὁ ἡγούμενος ὡς ὁ διακονῶν.* |
| | *27 τίς γὰρ μείζων, ὁ ἀνακείμενος ἢ ὁ διακονῶν οὐχὶ ὁ ἀνακείμενος ἐγὼ δὲ ἐν μέσῳ ὑμῶν εἰμι ὡς ὁ διακονῶν.* |
| | *28 ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες μετ ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου·* |

| | |
|---|---|
| | *29 κἀγὼ διατίθεμαι ὑμῖν καθὼς διέθετό μοι ὁ πατήρ μου βασιλείαν 30 ἵνα ἔσθητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ μου, καὶ καθήσεσθε ἐπὶ θρόνων τὰς δώδεκα φυλὰς κρίνοντες τοῦ Ἰσραήλ.* |
| *30 Καὶ ὑμνήσαντες ἐξῆλθον* | |
| *εἰς τὸ Ὄρος τῶν Ἐλαιῶν.* | |
| *31 Τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς,* | |
| *Πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ,* | |
| *γέγραπται γάρ,* | |
| *Πατάξω τὸν ποιμένα,* | |
| *καὶ διασκορπισθήσονται* | |
| *τὰ πρόβατα τῆς ποίμνης·* | |
| *32 μετὰ δὲ τὸ ἐγερθῆναί με* | |
| *προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν.* | |
| | *31 Σίμων Σίμων, ἰδοὺ ὁ Σατανᾶς ἐξῃτήσατο ὑμᾶς τοῦ σινιάσαι ὡς τὸν σῖτον·* |
| | *32 ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου· καὶ σύ ποτε ἐπιστρέψας στήρισον τοὺς ἀδελφούς σου.* |
| *33 ἀποκριθεὶς δὲ ὁ Πέτρος* | *33 ὁ δὲ* |
| *εἶπεν αὐτῷ,* | *εἶπεν αὐτῷ,* |
| *Εἰ πάντες σκανδαλισθήσονται* | |
| *ἐν σοί, ἐγὼ οὐδέποτε* | |
| *σκανδαλισθήσομαι.* | |
| | *Κύριε, μετὰ σοῦ* |
| | *ἕτοιμός εἰμι καὶ εἰς φυλακὴν* |
| | *καὶ εἰς θάνατον πορεύεσθαι.* |
| *34 ἔφη αὐτῷ ὁ Ἰησοῦς,* | *34 ὁ δὲ εἶπεν,* |
| *Ἀμὴν λέγω σοι ὅτι* | *Λέγω σοι, Πέτρε,* |
| *ἐν ταύτῃ τῇ νυκτὶ* | |
| *πρὶν ἀλέκτορα φωνῆσαι* | *οὐ φωνήσει σήμερον ἀλέκτωρ* |
| *τρὶς ἀπαρνήσῃ με.* | *ἕως τρίς με ἀπαρνήσῃ εἰδέναι.* |
| *35 λέγει αὐτῷ ὁ Πέτρος,* | |
| *Κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν,* | |
| *οὐ μή σε ἀπαρνήσομαι.* | |
| *ὁμοίως καὶ πάντες οἱ μαθηταὶ* | |
| *εἶπαν.* | |

*35 Καὶ εἶπεν αὐτοῖς, Ὅτε
ἀπέστειλα ὑμᾶς ἄτερ βαλλαντίου
καὶ πήρας καὶ ὑποδημάτων, μή
τινος ὑστερήσατε  οἱ δὲ εἶπαν,
Οὐθενός. 36 εἶπεν δὲ αὐτοῖς, Ἀλλὰ
νῦν ὁ ἔχων βαλλάντιον ἀράτω,
ὁμοίως καὶ πήραν, καὶ ὁ μὴ ἔχων
πωλησάτω τὸ ἱμάτιον αὐτοῦ καὶ
ἀγορασάτω μάχαιραν. 37  λέγω γὰρ
ὑμῖν ὅτι τοῦτο τὸ γεγραμμένον δεῖ
τελεσθῆναι ἐν ἐμοί, τὸ Καὶ μετὰ
ἀνόμων ἐλογίσθη· καὶ γὰρ τὸ περὶ
ἐμοῦ τέλος ἔχει. 38 οἱ δὲ εἶπαν,
Κύριε, ἰδοὺ μάχαιραι ὧδε δύο. ὁ δὲ
εἶπεν αὐτοῖς, Ἱκανόν ἐστιν.*

835 total words with 122 identicals = 15%